# Ἐπαρχία Θράκης. Κύζικα.

## Διοκλητιανούπολις Σεβαστούπολις. Διόπολις.

«Ἐπαρχία Θράκης] ab Hierocle apud Carolum a S. Paulo urbes tantum quattuor recensentur, ex quibus duae diversis nominibus, nimirum Philippopolis, Beroa seu Beroe, Diocletianopolis et Sebastopolis; quae quidem duae ultimae non recensentur a Porphyrogenito; in Hierocle vero apud Holstenium additur quinta "Diopolis": ceterum Thracia hic, inquit Marellus, speciali nomine de Moesia secunda accipitur.»

Βανδηρίου Σημειώσεις εἰς Κ. Πορφυρ. Περὶ θεμάτων σ. 290-91

«Κύζικα] Hierocles in provincia Illyrica I Macedonia hanc urbem appellat. verum apud alios scriptores ipsum nomen non legitur, quod sciam.»

1/



Κωνσταντῖν. Πορφυρογεννήτου Περὶ θεμάτων σ. 20-21

Ἐπαρχία δὲ Θρᾴκης ὑφ' ἡγεμόνα ἐτέλει
καὶ ὑπὸ τὸν λεγόμενον κονσιλιάριον,
τουτέστι βουλευτήν. Ταῦρος γὰρ
ἀνθύπατος ἐκράτει τῆς Θρᾴκης ἐπὶ τοῦ
μεγάλου Κωνσταντίνου, ἔχων ὑφ' ἑαυτὸν πόλεις
ὑφ' ἡγεμόνα καὶ κονσιλιάριον νγ'.
Διασπασθείσης δὲ τῆς σαγήνης ἐξ ἀπορίας καὶ
τῶν βαρβάρων ἐκπορθησάντων τὰς πόλεις, εἰς μικρὰ
τμήματα διῃρέθη ἡ τῆς Θρᾴκης ἐπαρχία· ἥ τε γὰρ
Βουλγαρία καὶ ὁ Ἴστρος καὶ τὸ στενώ-
τατον ὄρος τὸ ὑπερκείμενον τοῦ Πόντου, τὸ καλού-
μενον Αἷμος, τῆς Θρᾴκης ἦν μέρη, νυνὶ δὲ
ἀλλότρια χρηματίζουσι.
Τὸ δὲ τῆς Θρᾴκης θέμα ὑπὸ τὸν βασιλέα Κων-
σταντινουπόλεως ἐτέτακτο καὶ εἰς ὑπουρ-
γίαν αὐτοῦ ἐχρημάτιζε, καὶ οὐδέπω τις στρα-
τηγὸς ἦν ἐν αὐτῷ.
Ἀφ' οὗ δὲ τὸ θεομίσητον τῶν Βουλγάρων ἔθνος
ἐπεραιώθη εἰς τὸν Ἴστρον ποταμόν, τότε καὶ
αὐτὸς βασιλεὺς ἠναγκάσθη διὰ τὰς ἐπιδρομὰς τῶν
Σκυθῶν καὶ αὐτῶν τῶν Βουλγάρων εἰς θέματος
τάξιν ἀγαγεῖν αὐτὸ καὶ στρατηγὸν ἐν αὐτῷ χειρο-
τονῆσαι.
Ἐγένετο δὲ ἡ τῶν βαρβάρων περαίωσις ἐπὶ τὸν Ἴστρον

8/

ποταπὰ 160 ... τὰ λέξη τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, - - - .

Εἴπωμεν τοίνυν, ὡς ἀρχαία τάξις ἐκράτει, αὐτῶν τῶν ἐπαρχιῶν τὰ ὀνόματα.

Ἐπαρχία Θράκης ἤγουν Εὐρώπης, ὑπὸ κονσιλιαρίων, τουτέστι βουλευτῶν, πόλεις ιδ'.

Εὐδοξιούπολις, Ἡράκλεια, Ἀρκαδιούπολις, Βιζύη, Πάνιον, Ὄρνοι, Γάνος, Καλλίπολις, Μήριζος, Σαλτική, Σαυάδα, Ἀφροδισία, Ἄπρως, Κοιλία.

Ἐπαρχία Ῥοδόπης, ὑπὸ τὴν αὐτήν, πόλεις ζ'.

Παρθικόπολις, Ἡράκλεια Στρύμνου, Αἶνος, Μαξιμιανούπολις, Σέρραι, Φίλιππα, Τραϊανούπολις.

Ἐπαρχία Αἱμιμόντου, ὑφ' ἡγεμόνα, πόλεις ἕξ, Ἀδριανούπολις, Ἀγχίαλος, Δεβελτός, Πλουτινόπολις, Τζόϊδος.

Ἐπαρχία Θράκης, ὑπὸ κονσιλιαρίου, πόλεις ε', κλῖμα Μεστικὸν καὶ Ἀκόντισμα, Φιλιππούπολις, Βερόη, νῆσος Θάσος, νῆσος Σαμοθράκη.

Ἐπαρχία Μυσίας, ὑφ' ἡγεμόνα, πόλεις ιε', Τόμις, Διονυσόπολις, Ἄκραι, Καλλάτις, Ἴστρος, Κωνσταντιάνα, Ζέλπα, Τρόπαιος, Ἀξιούπολις, Καπιδάβα, Κάρπος, Τρῶσμις, Νοβιόδουνος, Αἴγισσος, Ἀλμυρίς.

Ἕως ὧδε τὸ τῆς Θράκης θέμα κατὰ τὸν Ἱεροκλέα Συνέκδημον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ